*Ἰσχύς μου καὶ ὕμνησίς μου ὁ Κύριος (Ψαλμ. 117, 14)*

*Ψαλῶ τῷ Θεῷ μου ἕως ὑπάρχω. (Ψαλμ. 145, 2)*


**Δρος Χαραλάμπους Μ. Μπούσια**

**Μεγάλου Ὑμνογράφου τῆς τῶν Ἀλεξανδρέων Ἐκκλησίας**


# Α Κ Ο Λ Ο Υ Θ Ι Α

## ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

# ΙΓΝΑΤΙΟΥ ΜΑΡΙΟΥΠΟΛΕΩΣ

## ΕΠΙΣΚΟΠΟΥ ΓΟΤΘΙΑΣ ΚΑΙ ΚΕΦΑ

## ΤΟΥ ΚΥΘΝΙΟΥ




**ΑΘΗΝΑΙ 2001**

# Α Κ Ο Λ Ο Υ Θ Ι Α

# ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ ΙΓΝΑΤΙΟΥ ΜΑΡΙΟΥΠΟΛΕΩΣ ΕΠΙΣΚΟΠΟΥ ΓΟΤΘΙΑΣ ΚΑΙ ΚΕΦΑ

## ΤΟΥ ΚΥΘΝΙΟΥ

**Ἡ μνήμη αὐτοῦ τελεῖται τῇ Γ΄/ ΙΣΤ΄ Φεβρουαρίου [1].**

**Ποίημα Δρος Χαραλάμπους Μ. Μπούσια**

*************************************************

## ΕΝ ΤΩ͂ ΜΙΚΡΩ͂ ΕΣΠΕΡΙΝΩ͂

**Μετὰ τὸν Προοιμιακόν, εἰς τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν στίχους δ΄ καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια·**

**Ἦχος α΄. Πανεύφημοι Μάρτυρες.**

Ἰγνάτιε, πάτερ εὐκλεές,
τῆς Μαριουπόλεως
κοσμῆτορ καὶ θείας πίστεως
ἔρεισμα ἄσειστον,
ὁλικῇ ἐφέσει
σῆς ψυχῆς ἠγάπησας
Χριστὸν καὶ ὡς Μωσῆς ἄλλος ἴθυνας
ἄρτι Ὀρθόδοξον
ἐξ ἀπίστων κατακείμενον
δῆμον ζόφου
πρὸς φῶς ἀπελεύθερον.

---

[1] Ἡ Ἀκολουθία ὡς ἔχει ψάλλεται τῇ ΙΣΤ΄ Φεβρουαρίου. Τῇ Γ΄ Φεβρουαρίου ἀντικαθίστανται τὰ Θεοτοκία διὰ τῶν Ἀντιστοίχων τῆς Ἑορτῆς τῆς Ὑπαπαντῆς.
Συνετάγη προτροπῇ τοῦ Ἀρχιμανδρίτου Νικοδήμου Καράφα-Ζαμπρόφσκι, μεταστάντος πρὸς Κύριον, ὀλίγον μετὰ τὴν λῆψιν τῆς Ἀκολουθίας, ἐν Αθήναις παραμονὰς Χριστουγένων τοῦ ἔτους 2001 καὶ ἐνταφιασθέντος ἐν τῇ Ἱερᾷ Μονῇ Πεντέλης.

Ἰγνάτιε. γόνε ἱερὲ
νήσου Κύθνου, ἤνθησας
βλαστὸς ὡς θεῖος μυρίπνοα
ἀγάπης λείρια
πρὸς Θεὸν τῶν ὅλων
καὶ πρὸς πάντα ἔγγιστα
χορείαν καθηδύνων χριστώνυμον
τῆς εὐψυχίας σου
εὐωδίᾳ καὶ φρονήματος
Ὀρθοδόξου
ὀδμαῖς σου, πανύμνητε.

Ἰγνάτιε, σκεῦος ἐκλογῆς,
ὡς ποιμὴν ἀνύστακτος
καὶ ἱεράρχης θεόπνευστος,
σαυτὸν ἐκδέδωκας
εἰς διακονίαν
λογικῆς ἀγέλης σου
Γοτθίας καὶ Κεφᾶ, παναοίδιμε·
ὅθεν ἀκρώρεια
ποιμασίας ὤφθης, ὅσιε,
καὶ ἡγήτωρ
λαοῦ ἐνθώτατος.

Ἰγνάτιε πάτερ, ἱδρυτὴς
τῆς Μαριουπόλεως
καὶ πολιοῦχος καὶ ἔφορος
καὶ κλέος πέφηνας·
σὺ γὰρ ὁδηγήσας
τῶν Ἑλλήνων τάγματα
ἐξ Ἄγαρ τῶν ἐκγόνων δουλώσεως,
Μωσῆς ὡς ἕτερος,
μέσῳ πειρασμῶν καὶ θλίψεων
ἐλευθέραν
εἰς χθόνα, περίδοξε.

**Δόξα. Ἦχος β΄.**

Πατρικῶς προϊστάμενος  τῆς λογικῆς σου ἀγέλης
σοφῶς αὐτὴν καθωδήγησας
ἐκ τῆς κοιλάδος τοῦ κλαυθμῶνος
πρὸς τὰς ἀκτὰς τῆς Ἀζοφικῆς, τὴν γῆν τῆς ἐλευθερίας·
σὺ γὰρ ἔχων προστάτιν τὴν ἀειπάρθενον Κυρίαν Θεοτόκον
σεαυτῇ καθιέρωσας τὴν πόλιν τῶν προσδοκιῶν σου,
τὴν κλεινὴν Μαριούπολιν·
μὴ οὖν παύσῃ οὐρανόθεν ἐποπτεύων τὴν ποίμνην σου
ὡς καὶ πάντα Ὀρθόδοξον μυστικῶς τιμῶντά σε
καὶ τὰς πρὸς Κύριον θεοπειθεῖς ἐκδεχόμενον πρεσβείας σου.

**Καὶ νῦν. Θεοτοκίον**

Τὴν πᾶσαν ἐλπίδα μου......

**Ἀπόστιχα. Ἦχος β΄. Οἶκος τοῦ Ἐφραθᾶ.**

Ὡς πάλαι Μωϋσῆς
ἐκ τῆς χθονὸς Αἰγύπτου
πρὸς γῆν ἐπαγγελίας
ὡδήγησας λαόν σου
πρὸς τὴν χαράν, Ἰγνάτιε.

**Στίχος.** Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου Αὐτοῦ.

Θεῖε Ἀρχιερεῦ,
Κεφᾶ καὶ τῆς Γοτθίας,
τῆς Ἐκκλησίας στῦλος
ἀρτίως ὤφθης, μάκαρ,
ἀκράδαντος, Ἰγνάτιε.

**Στίχος.** Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.

Σκῆνός σου τὸ σεπτὸν
ἀεὶ καθαγιάζει
Ἀζοφικῆς τὴν χθόνα
Ἰγνάτιε, καὶ πόλιν
λαμπρὰν Μαριουπόλεως.

**Δόξα. Τριαδικόν.**

Χαῖρε, Τριὰς σεπτή,
ἐλευθερίας ἦμαρ
ἀπαύστως δωρουμένη
τοῖς Σὲ δοξολογοῦσι
καρδίᾳ τε καὶ χείλεσι.

**Καὶ νῦν. Θεοτοκίον.**

Χαῖρε, Μῆτερ Θεοῦ,
τοῦ Ἰγνατίου γέρας,
φερωνυμοῦσαν πόλιν
καθιερωσαντός σοι,
Παρθένε, Μαριούπολιν.

Νῦν ἀπολύεις... **τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον ἐκ τοῦ Μεγάλου Ἑσπερινοῦ καὶ Ἀπόλυσις.**

*********************************************

# ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ

**Μετὰ τὸν Προοιμιακόν, τὸ Μακάριος ἀνήρ, εἰς δὲ τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν στίχους στ´ καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια·**

**Ἦχος δ´. Ἔδωκας σημείωσιν.**

Πάτερ ἐνθεώτατε,
ἱεροφάντα Ἰγνάτιε,
τῆς Κριμαίας ὑπόδουλον
λαὸν τὸν Ὀρθόδοξον
τοῖς υἱοῖς τῆς Ἄγαρ
ἴθυνας ἐν μέσῳ
δυσχερειῶν παντοδαπῶν,
θανάτων, πάτερ, λιμῶν καὶ θλίψεων
πρὸς τὰς ἀκτάς, πανεύφημε,
Ἀζοφικῆς, ἔνθα ἵδρυσας
εὐψυχίᾳ ἀῤῥήτῳ σου
τὴν κλεινὴν Μαριούπολιν.

Ἔρεισμα τῆς πίστεως
Ὀρθοδοξίας προτείχισμα

εὐσεβείας κειμήλιον,
καὶ ὄλβος ἀσύλητος
ὤφθης Ἐκκλησίας
τῆς ἁγιωτάτης,
ἐξ ἧς πηγάζει δαψιλῶς
ἡ εὐλογία τοῦ Πανοικτίρμονος
ἐδίδασκες, Ἰγνάτιε,
ἀρχιερεῦ ἐνθεώτατε,
ἐκ βαθέος ὡς φρέατος
ἐπὶ πάντας τοὺς μέροπας.

Ἔχων τὴν Πανάχραντον
Παρθένον , μάκαρ Ἰγνάτιε,
τῆς ἐξόδου ὑπέρμαχον
λαοῦ σου, θειότατε,
ἐκ τῆς γῆς Κριμαίας
πρὸς τὰς ἐλευθέρας
τῆς Ῥωσικῆς Ἀζοφικῆς
ἀκτὰς παρεῖδες
σαρκὸς κακώσεις σου
καὶ γογγυσμοὺς καὶ δάκρυα
ἐμπεριστάτου ποιμνίου σου,
τὴν ἐλπίδα σου ἅπασαν
εἰς αὐτὴν ἀναθέμενος.

Εἶδες ἐν ὁράματι
τὸν θεῖον ἱερομάρτυρα,
Χαραλάμπη τὸν ἔνδοξον,
πανώλην διώκοντα
ἐκ πεζοποροῦντος
πλήθους Ὀρθοδόξων,
μὴ  ὑποφέροντος δεινὰ
ἐκ τοῦ χειμῶνος
καὶ ψύχους, ἅγιε,
θεόσοφε Ἰγνάτιε,
μεθ’ οὗ ἀπαύστως ἱκέτευε
ψυχικῆς ἀπαλλάξαι με
δυσθυμίας καὶ θλίψεως.

Ἄνδρα τιμιώτατον,
ἀγγελικὴν ὄψιν ἔχοντα,

ὁσιώτατον, εὔψυχον,
ἁγνόν, εὐσυμπάθητον,
ταπεινὸν καὶ πρᾶον
ἔγνωμέν σε πάντες,
ἱερομύστα θαυμαστέ,
ποιμένων κῦδος,
σεπτὲ Ἰγνάτιε·
λαὸν γὰρ τὸν Ὀρθόδοξον
ὡς Μωϋσῆς ἄλλος ἴθυνας
μέσῳ πόνων καὶ θλίψεων
πρὸς τὴν γῆν τὴν εὐφρόσυνον.

Μνήμην τὴν ἁγίαν σου
καὶ παμφαῆ ἑορτάζοντες
εὐγνωμόνως, Ἰγνάτιε,
τιμῶμεν ἀγῶνάς σου,
οὓς ἐν ταπεινώσει
ἔτλης, ἱεράρχα,
ὑπὲρ λαοῦ σου εὐσεβοῦς,
Μαριουπόλεως ἐγκαλλώπισμα
καὶ πόθῳ ἀνακράζομεν·
Μὴ διαλείπης ἀείποτε
δυσωπῶν τὸν Παντάνακτα
ὑπὲρ πάντων ὑμνούντων σε.

**Δόξα. Ἦχος πλ. β΄.**

Ὡς νοητὸς πυρφόρος ἄνθραξ
ἐθέρμανας τὰς ψυχὰς τοῦ λογικοῦ ποιμνίου σου,
τὰς ἐν τῷ ψύχει τῆς δουλείας χειμαζομένας
τῶν ἀπογόνων τῆς Ἄγαρ, Ἰγνάτιε παναγιώτατε·
μιμητὴς γὰρ ὑπάρχων τοῦ Ἀρχιποίμενος Χριστοῦ
καὶ τρίβοις Μωϋσέως ἀκολουθήσας
πρότυπον γέγονας ἰθύντορος καὶ ψυχῶν οἰακοστρόφου·
διαλάμψας οὖν ἐν ἀρεταῖς καὶ σοφίᾳ καὶ διακρίσει
κατ᾽ ἀξίαν ἐδέξω τὴν χάριν πρεσβεύειν
τῷ ἀκροτάτῳ τῶν ἐφετῶν, Κυρίῳ τῆς δόξης,
ὑπὲρ τῶν τιμώντων τὴν μνήμην σου.

**Καὶ νῦν. Θεοτοκίον.** Τίς μὴ μακαρίσει σε, Παναγία Παρθένε,...

**Εἴσοδος.** Φῶς ἱλαρόν. **Τὸ Προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα.**

**Παροιμιῶν τὸ Ἀνάγνωσμα.**
**(Κεφ. δ΄ 10 - 19)**

Ἄκουε, υἱέ, καὶ δέξαι ἐμοὺς λόγους καὶ πληθυνθήσεται ἔτη ζωῆς σου, ἵνα σοι γένωνται πολλαὶ ὁδοὶ βίου· ὁδοὺς γὰρ σοφίας διδάσκω σε, ἐμβιβάζω δέ σε τροχιαῖς ὀρθαῖς. Ἐὰν γὰρ πορεύῃ, οὐ συγκλεισθήσεταί σου τὰ διαβήματα, ἐὰν δὲ τρέχῃς οὐ κοπιάσεις. Ἐπιλαβοῦ ἐμῆς παιδείας, μὴ ἀφῇς, ἀλλὰ φύλαξον αὐτὴν σεαυτῷ εἰς ζωήν σου. Ὁδοὺς ἀσεβῶν μὴ ἐπέλθῃς, μηδὲ ζηλώσῃς ὁδοὺς παρανόμων· ἐν ᾧ ἄν τόπῳ στρατοπεδεύσωσι, μὴ ἐπέλθῃς ἐκεῖ, ἔκκλινον δὲ ἀπ' αὐτῶν καὶ παράλλαξον. Οὐ γὰρ μὴ ὑπνώσωσιν, ἐὰν μὴ κακοποιήσωσιν, ἀφῄρηται ὁ ὕπνος αὐτῶν καὶ οὐ κοιμῶνται· οἵδε γὰρ σιτοῦνται σῖτα ἀσεβείας, οἴνῳ δὲ παρανόμῳ μεθύσκονται. Αἱ δὲ ὁδοὶ τῶν δικαίων ὁμοίως φωτὶ λάμπουσι, προπορεύονται καὶ φωτίζουσιν, ἕως κατορθώσῃ ἡ ἡμέρα· αἱ δὲ ὁδοὶ τῶν ἀσεβῶν σκοτειναί, οὐκ οἴδασι πῶς προσκόπτουσιν.

**Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.**
**(Κεφ. α΄ 1 - 10 )**

Ἀγαπήσατε δικαιοσύνην, οἱ κρίνοντες τὴν γῆν, φρονήσατε περὶ τοῦ Κυρίου ἐν ἀγαθότητι καὶ ἐν ἁπλότητι καρδίας ζητήσατε αὐτόν· ὅτι εὑρίσκεται τοῖς μὴ πειράζουσιν αὐτόν, ἐμφανίζεται δὲ τοῖς μὴ ἀπιστοῦσιν αὐτῷ. Σκολιοὶ γὰρ λογισμοὶ χωρίζουσιν ἀπὸ Θεοῦ, δοκιμαζομένη τε ἡ δύναμις ἐλέγχει ἄφρονας. Ὅτι εἰς κακότεχνον ψυχὴν οὐκ εἰσελεύσεται σοφία, οὐδὲ κατοικήσει ἐν σώματι καταχρέῳ ἁμαρτίας· ἅγιον γὰρ πνεῦμα παιδείας φεύξεται δόλον καὶ ἀπαναστήσεται ἀπὸ λογισμῶν ἀσυνέτων καὶ ἐλεγχθήσεται ἐπελθούσης ἀδικίας. Φιλάνθρωπον γὰρ πνεῦμα σοφίας καὶ οὐκ ἀθῳώσει βλάσφημον ἀπὸ χειλέων αὐτοῦ· ὅτι τῶν νεφρῶν αὐτοῦ μάρτυς ὁ Θεὸς καὶ τῆς καρδίας αὐτοῦ ἐπίσκοπος ἀληθὴς καὶ τῆς γλώσσης ἀκουστής· ὅτι πνεῦμα Κυρίου πεπλήρωκε τὴν οἰκουμένην καὶ τὸ συνέχον τὰ πάντα γνῶσιν ἔχει φωνῆς. Διὰ τοῦτο φθεγγόμενος ἄδικα οὐδεὶς μὴ λάθῃ οὐδ' οὐ μὴ παροδεύσῃ αὐτὸν ἐλέγχουσα ἡ δίκη. Ἐν γὰρ διαβουλίοις ἀσεβοῦς ἐξέτασις ἔσται, λόγων δὲ αὐτοῦ ἀκοὴ πρὸς Κύριον ἥξει εἰς ἔλεγχον ἀνομημάτων αὐτοῦ· ὅτι οὖς ζηλώσεως ἀκροᾶται τὰ πάντα καὶ θροῦς γογγυσμῶν οὐκ ἀποκρύπτεται.

**Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.**
**(Κεφ. γ΄ 1 - 9)**

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα, οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης· καὶ ὀλίγα παιδευθέντες μεγάλα εὐεργετηθήσονται, ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτοὺς καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ· ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτοὺς καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται· κρινοῦσιν ἔθνη καὶ κρατήσουσι λαῶν καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ' αὐτῷ συνήσουσιν ἀλήθειαν καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

## ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ
**Ἰδιόμελα**

**Ἦχος α΄.**

Εὐφραίνου ἐν Κυρίῳ τῶν Ὀρθοδόξων ἡ ὁμήγυρις
τελοῦσα τὴν μνήμην τοῦ σοφοῦ ἱεράρχου
καὶ ἱδρυτοῦ τῆς Μαριουπόλεως,
Ἰγνατίου τοῦ οὐρανόφρονος·
οὗτος γὰρ εἰς τὸ ὕψος ἀρθεὶς τῶν περιστάσεων
χειμαζομένων καὶ δεινῶς στενόντων
ἐπώφθη ἀνύστακτος προστάτης
καὶ χειραγωγὸς σταθηρὸς ἐκ τῆς δουλείας εἰς χώραν ἐλευθέραν·
καὶ νῦν Χριστοῦ τῷ θρόνῳ παριστάμενος,
τοῦ κατ' ἀξίαν πᾶσι νέμοντος τὰ γέρα,
καὶ Αὐτοῦ τοῦ ἀῤῥήτου ἀπολαύων κάλλους,
ἐκτενῶς Αὐτῷ πρεσβεύει ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

**Ἦχος β΄.**

Τῆς Κύθνου τὸ νεαυγέστατον ἄστρον
καὶ Ἐκκλησίας τὸν νεολαμπέστατον φωστῆρα,
Ἰγνάτιον τὸν ἱεράρχην καὶ Μαριουπόλεως εὖχος,
οἱ πιστοί, ἀξιοχρέως εὐφημήσωμεν·
οὗτος γὰρ ἀκτῖσι ἀκραιφνοῦς φρονήματος
καὶ βολαῖς στεῤῥοψυχίας καὶ πίστεως τῆς ἁγίας

τὸν ὑπὸ ζυγὸν μισοχρίστων στένοντα
Ὀρθόδοξον λαὸν τῆς Κριμαίας κατεφώτισε·
καὶ νῦν ὡς τοῦ παμφώτου στερεώματος τῶν οὐρανῶν
κληρονόμος γενόμενος
Χριστῷ τῷ Θεῷ ἀδιαλείπτως πρεσβεύει
διασκεδάσαι ἡμῶν τὴν σκοτομήνην τῶν δεινῶν καὶ τῶν θλίψεων.

**Ἦχος γ΄.**

Τὴν ματαιότητα τῶν ἐγκοσμίων καὶ προσύλων ἐνωρὶς ἐννοήσας
μοναχικῆς πολιτείας ἠκολούθησας τρίβοις
καὶ ἐν τῷ Ἁγίῳ ἠσκήσω θεαρέστως Ὄρει·
ἀνελθὼν εἶτα τῆς ἱερωσύνης καὶ ἀρετῆς τὰς βαθμίδας
ποιμὴν θεοπρόβλητος Γοτθίας καὶ Κεφᾶ ἐχρημάτισας, Ἰγνάτιε·
καὶ νῦν Μαριουπόλεως προστάτης πέλων
τοὺς προσκυνοῦντας τὴν σορὸν τῶν λειψάνων σου εὐλόγει
καὶ δίδου αὐτοῖς τὰ πρὸς σωτηρίαν αἰτήματα
καὶ ζωὴν τὴν αἰώνιον.

**Ἦχος δ΄.**

Τῇ προστασίᾳ καταφεύγων τῆς ἀειπαρθένου Μαρίας
καὶ ἀρωγὸν ἐν τοῖς κινδύνοις τῆς ἐξόδου σῆς ποίμνης
πρὸς τὴν γῆν τῆς ἐλευθερίας ἔχων τὸν θαυματουργὸν Χαραλάμπη
ἐπέτυχες Μαριούπολιν ἱδρῦσαι τὴν περιώνυμον, Ἰγνάτιε·
μὴ οὖν παύσῃ Χριστῷ ὑπὲρ ἡμῶν ἀναφέρων δεήσεις,
τῶν ὡς ἀπλανῆ ποδηγέτην καὶ ἄγρυπνον ποιμένα τιμώντων σε,
ἵνα τοῦ βίου τὸ πέλαγος ἀφόβως διαπλεύσωμεν, παναοίδιμε,
καὶ εὕρωμεν ἔλεος ἐν τῇ ἡμέρᾳ τῆς Κρίσεως.

**Δόξα. Ὁ αὐτός.**

Δεῦτε, πάντες φιλέορτοι,
τὸν τιμηθέντα ἱεραρχίας τῇ ἀξίᾳ
καὶ προεστῶτα καλῶς τῆς αὐτοῦ ποίμνης ἐν κινδύνοις,
Ἰγνάτιον τὸν πανεύφημον, ᾀσματικοῖς ἐγκωμίοις καταστέψωμεν
πανευλαβῶς κραυγάζοντες·
Ὀρθοδόξων Ἑλλήνων τῆς Κριμαίας
χειραγωγὲ πρὸς ἐλευθερίαν
καὶ Μαριουπόλως δομῆτορ ἔνθεε,

δυσώπει Κύριον τῆς δόξης διδόναι τοῖς ἱκέταις σου
πταισμάτων λύσιν καὶ τὸ μέγα καὶ πλούσιον ἔλεος.

**Καὶ νῦν. Θεοτοκίον.** Ἐκ παντοίων κινδύνων τοὺς δούλους σου...

**Εἰς τὸν Στίχον. Στιχηρὰ Προσόμοια.**
**Ἦχος πλ. α΄. Χαίροις, ἀσκητικῶν.**

Χαίροις, ἱεραρχῶν καλλονή,
Γοτθίας πάσης καὶ Κεφᾶ θεοπρόβλητε
ἐπίσκοπε καὶ στενόντων
ἐν τῇ Κριμαίᾳ πιστῶν
Ὀρθοδόξων, πάτερ,
μέγα στήριγμα·
Μωσῆς γὰρ ὥς ἕτερος
σὴν ἀγέλην κατηύθυνας
τὴν λογικήν σου
πρὸς τὴν νῦν Μαριούπολιν,
ἣν ἐδόμησας
καὶ σοφῶς ἀφιέρωσας
τῇ ἀκλινεῖ προστάτιδι
τοῦ κόσμου καὶ φύλακι
ἐμπεριστάτων ἁπάντων,
Δεσποίνῃ, Θεογεννήτορι,
μεθ’ ἧς ἐκδυσώπει
τὸν Χριστὸν διδόναι πᾶσι
τὸ μέγα ἔλεος.

**Στίχος.** Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου Αὐτοῦ.

Χαίροις, τῆς νήσου Κύθνου βλαστέ
Ἁγίου Ὄρους ἐνδιαίτημα πάντιμον,
θειότατε ἱεράρχα
τῆς Ἐκκλησίας Χριστοῦ,
ὁ ἐκ πλάνης σώσας
καὶ δουλώσεως
τῆς Ἄγαρ ἀγέλην σου
τῆς Κριμαίας τὴν ἔλλογον
καὶ καθιδρύσας
τὴν κλεινὴν Μαριούπολιν,
θεοφόρητε
ἀρχιθῦτα, Ἰγνάτιε·

ὅθεν πανηγυρίζοντες
τὴν πάνσεπτον μνήμην σου
ἀναβοῶμεν· Δυσώπει
Χριστὸν ἡμῖν δοῦναι ἅπασιν
ὁμόνοιαν, ῥώμην
καὶ ἰσχὺν κατατροπῶσαι
τὸν πολυμήχανον.

**Στίχος.** Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.

Μνήμην τὴν σὴν τελοῦντες λαμπρῶς,
Μαριουπόλεως προστάτα καὶ ἔφορε,
Ἰγνάτιε θεοφόρε,
ἀγνωμοσύνην λαοῦ
ὁ δεχθεὶς ἀγάπης ὡς ἀντίδωρον
τῆς σῆς, δι᾽ ἧς ἔσωσας
ἐκ τῆς Ἄγαρ δουλώσεως
τοὺς Ὀρθοδόξους,
δέξαι τόδε μελῴδημα
καὶ ἀξίωσον
εὐγνωμόνως τὸν Κύριον
δοξολογεῖν ἀείποτε
ἡμᾶς, τοὺς ἐν ᾄσμασι
τοὺς σοὺς τιμίους καμάτους
καὶ ἀγωγὴν μεγαλύνοντας,
πρὸς κτῆσιν σοφίας
καὶ χαρᾶς κληρονομίαν
τῆς ὑπὲρ ἔννοιαν.

**Δόξα. Ἦχος πλ. δ΄.**

Τὸν ἐκ παιδὸς ἀγαπήσαντα τὸν Κύριον
καὶ ἱεράρχην ἀναδειχθέντα θεόσοφον,
τὸν καλῶς προεστῶτα ἐν κινδύνοις τῆς αὐτοῦ ποίμνης,
Ἰγνάτιον, Μαριουπόλεως τὸ εὖχος, μακαρίσωμεν
πιστῶς κραυγάζοντες·
Κοσμῆτορ τῆς τοῦ Χριστοῦ Ἐκκλησίας νέε,
ὡς σκεῦος εὔχρηστον τοῦ ἁγίου Πνεύματος
καὶ ποιμὴν ἀνύστακτος
ἠξιώθης οὐρανίου ἀπολαῦσαι δόξης ἐν πόλῳ
καὶ πρεσβευτὴς ἡμῶν γενέσθαι πρὸς Κύριον θερμότατος.

**Καὶ νῦν. Θεοτοκίον.** Δέσποινα, πρόσδεξαι...

Νῦν ἀπολύεις....**τὸ Τρισάγιον καὶ τὸ Ἀπολυτίκιον.**
**Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.**

Μωϋσέως μιμούμενος τρόπους ἴθυνας
ἐξ ὑποδούλου Κριμαίας
ζυγῷ τῶν Ἄγαρ υἱῶν
Ὀρθοδόξων τὴν πληθὺν πρὸς Μαριούπολιν,
ἀρχιερεῦ θεοειδὲς
καὶ ἀνύστακτε ποιμήν,
Ἰγνάτιε γενναιόφρον·
διὸ σὸν σθένος τιμῶντες
ψυχῆς λιτάς σου ἐξαιτούμεθα.

**Θεοτοκίον.** Χαῖρε, πύλη Κυρίου ἡ ἀδιόδευτος...

**Ἀπόλυσις.**

*********************************************

# ΕΝ ΤΩ ΟΡΘΡΩ

**Μετὰ τὸν Ἑξάψαλμον τὸ Ἀπολυτίκιον, ὡς ἐν τῷ Μεγάλῳ Ἑσπερινῷ, μετὰ δὲ τὴν α΄ Στιχολογίαν Κάθισμα.**

**Ἦχος α΄. Τὸν τάφον Σου, Σωτήρ.**

Τὴν μνήμην σου λαμπρῶς,
οἱ πιστοί, ἐκτελοῦντες,
Ἰγνάτιε, Κεφᾶ
καὶ Γοτθίας ἐπόπτα,
καὶ πόνους ἀόκνους σου
ὑπὲρ ἐλευθερώσεως
τοῦ πληρώματος
τῶν Ὀρθοδόξων Κριμαίας
μεγαλύνοντες
βοῶμεν· Ῥῦσαι ἱκέτας
τοὺς σοὺς πάσης θλίψεως.

**Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.**

Μὴ παύσῃ ἐκτενῶς
δυσωποῦσα, Παρθένε,
Ὃν ἔτεκες σαρκὶ
ὑπὲρ φύσιν καὶ λόγον
διδόναι τοῖς μέλπουσιν
εἰς αἰῶνάς σε ἅπαντας
θείαν δύναμιν
ἐχθροῦ πατῆσαι τοῦ πλάνου
τὰ φρυάγματα
καὶ ἀνελθεῖν τὰς βαθμίδας
ἠθῶν τελειότητος.

**Μετὰ τὴν β´ Στιχολογίαν Κάθισμα.**
**Ἦχος δ´. Ταχὺ προκατάλαβε.**

Ἰγνάτιε πάνσοφε,
ἱεραρχῶν καλλονή,
ἡγήτωρ γεγένησαι
ἐξόδου Χριστιανῶν
Κριμαίας πρὸς εὕρεσιν
γῆς τῆς ἐλευθερίας
καὶ συνέπαθες τούτοις,
μὴ φέρουσι χειμῶνος
τὸ δριμύτατον ψῦχος
καὶ πόνους ἐκ κινδύνων, λιμῶν
καὶ περιστάσεων.

**Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.**

Φθορὰν ἀπενέκρωσας
τὴν τῶν ἁπάντων ζωὴν
κυήσασα, Δέσποινα,
ὑπερφυῶς, ἀγαθή,
τοῦ κόσμου διάσωσμα·
ὅθεν βροτῶν τὰ πλήθη
σὲ γεραίρομεν πόθῳ
καὶ σωστικαῖς πρεσβείαις
καταφεύγομεν πάντες
ταῖς σαῖς πρὸς τὸν Σωτῆρα Χριστὸν
καὶ θεῖον Τόκον σου.

**Μετὰ τὸν Πολυέλεον Κάθισμα. Ἦχος γ´. Τὴν ὡραιότητα.**

Λαὸν Ὀρθόδοξον ῥάβδῳ ὡδήγησας
τῆς ποιμασίας σου ἐκ τῆς δουλώσεως
Ἄγαρ υἱῶν Ἀζοφικῆς πρὸς χώραν τὴν ἐλευθέραν,
ἔνθα Μαριούπολιν τὴν περίδοξον ἵδρυσας
ἐν ἐσχάτοις ἔτεσιν, ἱεράρχα θεόσδοτε·
διό σε ἀνυμνοῦντες βοῶμεν· Χαῖρε, Ἰγνάτιε τρισμάκαρ.

**Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.**

Τὴν σκοτισθεῖσάν μου ψυχὴν καταύγασον
φωτὶ τῆς χάριτος τοῦ θείου Τόκου σου,
ἁγνὴ Παρθένε, Μαριάμ, ἐλπὶς τῶν ἀπηλπισμένων,
καὶ ἀχλὺν ἀπέλασον τῶν ἀπείρων πταισμάτων μου,
ὅπως εὕρω ἔλεος ἐν τῇ ὥρᾳ τῆς Κρίσεως
καὶ πόθῳ ἀσιγήτως βοῶ σοι· Χαῖρε, ἡ Κεχαριτωμένη.

**Τὸ α´ Ἀντίφωνον τοῦ δ´ ἤχου καὶ τὸ Προκείμενον.**
Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου Αὐτοῦ.
**Στίχος.** Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.

**Εὐαγγέλιον· Κατὰ Ἰωάννην (Κεφ. ι´ 9 -16 ).**
**Ζήτει τῇ μνήμῃ τοῦ Ἁγίου Ἰωάννου τοῦ Χρυσοστόμου.**

**Ὁ Ν´ Ψαλμός.**
**Δόξα.** Ταῖς τοῦ Ἱεράρχου πρεσβείαις, Ἐλεῆμον,..
**Καὶ νῦν.** Ταῖς τῆς Θεοτόκου πρεσβείαις, Ἐλεῆμον,..

**Ἰδιόμελον. Ἦχος πλ. β´.**
**Στίχος.** Ἐλεῆμον, ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός Σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν Σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Τοῦ Μωϋσέως μιμούμενος τρόπους
καὶ ὡς ἐκεῖνος τοὺς γογγυσμοὺς τοῦ λαοῦ ὑπομείνας
ἐκ τῶν θλίψεων τῆς ἐξόδου
εἰς τὴν γῆν τῆς ἐλευθερίας ἴθυνας λαὸν Κριμαίας τὸν Ὀρθόδοξον·
ἔχων γὰρ συμπαραστάτιν τὴν Κυρίαν Θεοτόκον
καὶ ἰατρὸν ἐν τοῖς λιμοῖς τὸν μέγιστον Χαραλάμπη
τοῦ ἐφετοῦ ἠξιώθης ἀπολαῦσαι
καὶ Μαριούπολιν ἐδόμησας·
καταλαμπρύνας οὖν τὴν τοῦ Χριστοῦ Ἐκκλησίαν
αὐγαῖς σῆς εὐσεβείας καὶ εὐψυχίας

καὶ χειραγωγὸς γενόμενος πιστῶν πρὸς σωτηρίαν
χάριν εἴληφας πρεσβεύειν ὑπὲρ τῶν τιμώντων σε.

Σῶσον, ὁ Θεός, τὸν λαόν Σου....

**Εἶτα ὁ Κανὼν τοῦ Ἱεράρχου, οὗ ἡ ἀκροστιχίς·**

**" Ἰγνατίου Μαριουπόλεως εὔχους αἶνος .Χ. "**

**Ὠδὴ α΄. Ἦχος δ΄. Ἀνοίξω τὸ στόμα μου.**

Ἰγνάτιον ἔνθεον,
Μαριουπλεως καύχημα
καὶ ἔμπνουν θησαύρισμα
ἱεραρχῶν εὐκλεῶν,
λόγον δίδου μοι
ὑμνῆσαι ἐπαξίως
Χριστὲ Παντοδύναμε
Σῶτερ καὶ Κύριε.

Γηθόμενοι μέλπομεν
τῆς σῆς καρδίας εὐσθένειαν
δι' ἧς καθωδήγησας
ὀρθοφρονοῦντα λαόν,
οἴμοι, στένοντα
ὑπὸ στυγνὴν δουλείαν
τῆς Ἄγαρ, Ἰγνάτιε,
γῆν πρὸς εὐφρόσυνον.

Νοῒ οὐρανόφρονι
καὶ θεολήπτοις σου χείλεσιν
Ἑλλήνων κατέπιθες
τῶν φιλοχρίστων χοροὺς
τὴν στενάζουσαν
ὑπ' Ἄγαρ καταλίπειν
Κριμαίαν, Ἰγνάτιε,
ἄρτι, θεόσοφε.

**Θεοτοκίον.**

Ἁγνὴ ἀειπάρθενε,
τοῦ Ἰγνατίου δεήσεσι
κατάπεμψον ἅπασιν
ἐλέη σοῦ τοῦ Υἱοῦ
καὶ ὁδήγησον
πρὸς τρίβους σωτηρίας
τοὺς σὲ μακαρίζοντας
ὕμνοις ἐμπρέπουσι.

**Ὠδὴ γ΄. Τοὺς σοὺς ὑμνολόγους.**

Τιμήσωμεν ὕμνοις μελιῤῥύτοις
τὸ βλάστημα Κύθνου τὸ σεπτὸν,
Ἁγίου Ὄρους ἄνθισμα
καὶ τῆς Μαριουπόλεως
δομήτορα περίδοξον,
ἀρχιερέα Ἰγνάτιον.

Ἰσχὺν οὐρανόθεν δεδεγμένος
πρὸς ἔξοδον ἴθυνας στεῤῥὰν
Κριμαίας τὸν Ὀρθόδοξον
λαὸν, σοφὲ Ἰγνάτιε,
ἵνα Ταρτάρων φύγωσι
τὴν ἐκ δουλώσεως στένωσιν.

Ὁδοὺς Μωϋσέως ἐν ἐσχάτοις
τοῖς χρόνοις βαδίσας ἀκλινῶς
πρὸς ἐλευθέραν ἴθυνας
πατρίδα ἐμπερίστατον
πιστὸν λαόν, Ἰγνάτιε,
ἀρχιερεῦ ἐνθεώτατε.

**Θεοτοκίον.**

Ὑπέραγνε Μῆτερ τοῦ Ὑψίστου
καὶ πάντων βροτῶν καταφυγή,
Θεοκυῆτορ Ἄνασσα,
εἰρήνευσον τοὺς δούλους σου
καὶ σὸν Υἱὸν ἱλέωσαι
ἡμῖν, τοῖς σὲ μακαρίζουσι.

**Κάθισμα. Ἦχος γ΄. Θείας πίστεως.**

Γενναιότατε ἱεροφάντορ,
ὁ τῇ χάριτι τῆς Θεοτόκου
καὶ αὐτῆς τῇ συμμαχίᾳ Ὀρθόδοξον
λαὸν Κριμαίας ἰθύνας, Ἰγνάτιε,
πρὸς ἐλευθέραν πατρίδα, ἐδόμησας
Μαριούπολιν, αὐτῇ ἥνπερ ἀφιέρωσας
τῆς σῆς εὐγνωμοσύνης ὥσπερ ἔκφρασιν.

**Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.**

Μῆτερ ἄφθορε τοῦ Ζωοδότου,
ἡ λυτρώσασα βροτῶν τὸ γένος
ἐκ φθορᾶς τῆς τοῦ θανάτου, διάσωσον
τοὺς σὲ τιμῶντας ἐκ πάσης κακώσεως,
δεινῶν κινδύνων καὶ βλάβης τοῦ ὄφεως,
ἵνα χαίροντες τὸ πλῆθος τῶν θαυμασίων σου
εἰς πάντας τοὺς αἰῶνας μεγαλύνωμεν.

**ᾨδὴ δ΄. Ὁ καθήμενος ἐν δόξῃ.**

Μωϋσέως τοῦ Θεόπτου
ταῖς ὁδοῖς ἠκολούθησας
καὶ λαὸν Κυρίου
πρὸς ἐπαγγελίας γῆν ἴθυνας
Ἀζοφικῆς εἰς ἀκτάς, ἔνθα καθίδρυσας
Μαριούπολιν,
ἱερομύστα Ἰγνάτιε.

Ἀχριθῦτα γενναιόφρον
σῷ ἀνδρείῳ φρονήματι
ἤγειρας τὰ πλήθη
μυστικῶς πιστῶν χθόνα πάτριον,
ἣν ἐξουσίαζον Ἄγαρ οἱ ἀπόγονοι,
ἱερώτατε,
ἐγκαταλίπειν, Ἰγνάτιε.

Ῥώμην σῆς ψυχῆς, τρισμάκαρ,
καὶ καρδίας θεώμενος

ὁ τῆς Βασιλίδος
Πατριάρχης σὲ προεχείρισεν
ἀρχιερέα ποιμάναι τὴν Ὀρθόδοξον,
ποίμνην, ἅγιε,
Κριμαίας, πάτερ Ἰγνάτιε.

**Θεοτοκίον.**

Ἰγνατίου ταῖς πρεσβείαις,
τοῦ σοφοῦ ἀρχιποίμενος,
Κεχαριτωμένη,
Μῆτερ τοῦ Θεοῦ, ἀειπάρθενε,
ὡς ὀμβροτόκος νεφέλη τάχος πέμψον μοι
ὄμβρους χάριτος
τῆς σῆς ἀπείρου, Παντάνασσα.

**Ὠδὴ ε΄. Ἐξέστη τὰ σύμπαντα.**

Ὁμόζηλος, ἅγιε,
τοῦ Μωϋσέως πέφηνας,
τῆς ἐξόδου πάνσοφε ἡγῆτορ
λαοῦ Κριμαίας
πρὸς χώραν Ἀζοφικήν,
Ἰγνάτιε, σκεῦος ἐκλογῆς
τοῦ Ἁγίου Πνεύματος
καὶ ποιμὴν θεοπρόβλητε.

Ὑπέμεινας ἄσμενος
τοὺς γογγυσμοὺς ἀγέλης σου,
τῆς κακοπαθούσης, ἐν ἐξόδῳ
ἔχων ψυχῆς σου
πρὸς τὴν Μητέρα Θεοῦ
τὰ ὄμματα, πάτερ ἱερέ,
ἐστραμμένα πάντοτε,
θεοφόρε Ἰγνάτιε.

Ποιμένων ἀρχέτυπον
θεοειδῶν, Ἰγνάτιε,
θείᾳ ὁ κοσμούμενος συνέσει,
ἴθυνας ποίμνην
σὴν λογικὴν πρὸς ἀκτάς,

ἀοίδιμε, τῆς Ἀζοφικῆς,
ἔνθα πόθῳ ἵδρυσας
τὴν κλεινὴν Μαριούπολιν.

**Θεοτοκίον.**

Ὁμόζηλον δεῖξόν με
Ἀγγέλων, Μητροπάρθενε,
ταῖς τοῦ ἱεράρχου ἱκεσίαις
τοῦ Ἰγνατίου,
μεθ' οὗ συγχαίρεις ἀεὶ
ἐν δόμοις παμφώτοις οὐρανῶν,
ὑπερτέρα, Δέσποινα,
τῶν ἀΰλων Δυνάμεων.

**ᾨδὴ στ΄. Τὴν θείαν ταύτην.**

Λιμοῦ λαὸν ἀπελύτρωσας
ταῖς σαῖς εὐχαῖς, τρισμάκαρ Ἰγνάτιε,
πρὸς τὸν στεῤῥότατον
ἱερομάρτυρα, ἅγιε,
τὸν θεῖον Χαραλάμπη
καὶ θαυματόβρυτον.

Ἐν τῇ ἁγίᾳ κοιμήσει σου
σκιρτᾷ ἡ Μαριούπολις, ἅγιε,
καὶ ἑορτάζουσα
τὴν θείαν μνήμην σου κράζει σοι·
Σύ μοῦ προστάτης πέλεις,
σεπτὲ Ἰγνάτιε.

Ὡς ἀρωγὸν καὶ συλλήπτορα
κατέχουσά σε νῦν  Μαριούπολις
ἐκθύμως κράζει σοι·
Μὴ διαλείπῃς ἑκάστοτε
ὑπὲρ ἐμοῦ πρεσβεύων
τῷ Παντοκράτορι.

**Θεοτοκίον.**

Στηλογραφήματα νήψεως
ἀνάδειξον τοὺς σὲ μακαρίζοντας,
Θεογεννήτρια,
καὶ ἀῤῥαγῆ κρηπιδώματα
εὐχῆς ἀδιαλείπτου
καὶ ἀγαθότητος.

**Κοντάκιον. Ἦχος πλ. δ΄. Τῇ Ὑπερμάχῳ.**

Τὸν ἱεράρχην τὸν σεπτὸν καὶ θεοπρόβλητον,
ἐκ τῆς Κριμαίας τὸν λαὸν τὸν χειμαζόμενον
κατευθύναντα πρὸς χώραν ἐλευθερίας
καὶ δομήτορα λαμπρὸν Μαριουπόλεως,
Μωϋσέως ὡς ὁμόζηλον, τιμήσωμεν
πόθῳ κράζοντες· Χαίροις, μάκαρ Ἰγνάτιε.

**Ὁ Οἶκος.**

Ἄμεμπτον πολιτείαν
ἐπιδείξας ἐν κόσμῳ,
Ἰγνάτιε, σεπτὲ ποιμενάρχα,
τῆς Κριμαίας ἰθῦναι λαὸν
πρὸς ἐλευθερίαν ἀπλανῶς, ἅγιε,
κατηξιώθης· ὅθεν σοι
κραυγάζομεν πιστῶς τοιαῦτα·

Χαῖρε, ὁμόζηλος Μωϋσέως·
χαῖρε, ὁ σύσκηνος τῶν Πατέρων.

Χαῖρε, Ὀρθοδόξου λαοῦ ἀπολύτρωσις·
χαῖρε, μισοχρίστου ὀφρύος κατάπτωσις.

Χαῖρε, στήλη θεοχάρακτος εὐσθενείας ψυχικῆς·
χαῖρε, κρήνη ἡ ἀκένωτος προστασίας πατρικῆς.

Χαῖρε, χειμαζομένων Ὀρθοδόξων ἡγήτωρ·
χαῖρε, ἐμπεριστάτων καὶ καμνόντων ἀκέστωρ.

Χαῖρε, πιστῶν Ἑλλήνων τὸ στήριγμα·
χαῖρε, Μαριουπόλεως κόσμημα.

Χαῖρε, εὐχῆς ἐργαστήριον θεῖον·
χαῖρε, διπλῆς ἀγαπήσεως βάθρον·

Χαίροις, μάκαρ Ἰγνάτιε.

**Καὶ ἀναγιγνώσκεται τὸ Μηνολόγιον τῆς ἡμέρας, ἤτοι τῆς Γ΄ Φεβρουαρίου, ἐν ᾧ λέγομεν·**

Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου θεοφόρου πατρὸς ἡμῶν Ἰγνατίου, Ἐπισκόπου Γοτθίας καὶ Κεφᾶ, τοῦ ἱδρυτοῦ τῆς Μαριουπόλεως.

**Στίχοι.**

Ζηλωτά, Ἰγνάτιε, τοῦ Μωϋσέως,
Ἐξόδου Ὀρθοδόξων ἡγήτωρ ὤφθης.

**Συναξάριον.**

Ὁ Ὅσιος καὶ θεοφόρος πατὴρ ἡμῶν Ἰγνάτιος, εὐθαλέστατον βλάστημα νήσου Κύθνου πέλων, διέπρεψεν ἐπ’ εὐσεβείᾳ καὶ ψυχικῇ ῥώμῃ. Ἐντρυφήσας ἐν τῷ Ἁγιωνύμῳ Ὄρει προεχειρίσθη ἐπίσκοπος Γοτθίας καὶ Κεφᾶ καὶ ἀπεστάλη εἰς Κριμαίαν ποιμάναι τὸ Ὀρθόδοξον τῶν ἐκεῖ ἐγκαταβιούντων Ἑλλήνων πλήρωμα.

Οὗτος τῆς λογικῆς αὐτοῦ ποίμνης πατρικῶς προϊστάμενος καθωδήγησεν αὐτὴν πρὸς βίον ἔνθεον καὶ ἐκ τῆς ζοφώδους δουλώσεως τῆς Ἄγαρ αὐτὴν διέσωσεν. Ὡς ἄλλος Μωϋσῆς ἐξήγαγε τὸν λαὸν πρὸς τὰς ἀκτὰς τῆς Ἀζοφικῆς τὰς ἐλευθέρας, ἔνθα ἵδρυσε τὴν κλεινὴν νῦν Μαριούπολιν, ἣ ἀφιέρωσε τῇ Κυρίᾳ Θεοτόκῳ.

Καθ’ ὅλην τὴ διάρκειαν τῆς πορείας τῶν Ἑλλήνων Ὀρθοδόξων πρὸς τὴν Μαριούπολιν ηὔξανε τὸ φρόνημα τῶν προσφύγων διὰ τῶν αὐτοῦ θερμῶν προσευχῶν. Τοὺς ἐκ τοῦ ἐνσκήψαντος λιμοῦ κινδύνους ἀπεμάκρυνε τῇ ἀρωγῇ τοῦ ἐνδόξου ἱερομάρτυρος Χαραλάμπους, τοῦ ἐν ὁράματι αὐτῷ ἐμφανισθέντος καὶ βεβαιώσαντος περὶ τῆς αὐτοῦ ἀρωγῆς καὶ προστασίας.

Τοὺς γογγυσμοὺς τοῦ ἐμπεριστάτου λαοῦ αὐτοῦ ἀντιπαρῆλθε διὰ τῶν παννύχων αὐτοῦ προσευχῶν καὶ τῆς αὐτοῦ γενναιόφρονος καρδίας. Διεκυβέρνησε τὴν νοητὴν ὁλκάδα τῆς Ἐκκλησίας ἐν συνέσει καὶ τελειωθεὶς ἐν εἰρήνῃ ἐτάφη ἐν τῷ Ναῷ τοῦ ἁγίου Χαραλάμπους τῆς Μαριουπόλεως. Ὁ Ναὸς οὗτος κατεστράφη ὑπὸ τοῦ ἀθεϊστικοῦ καθεστῶτος τῆς Ῥωσίας τῷ 1936 καὶ εἶτα μέρος τῶν ἱερῶν τοῦ ἁγίου λειψάνων πυρὶ παρεδόθη ὑπὸ τῶν Γερμανῶν μετὰ πάσης τῆς Μαριουπόλεως κατὰ τὸν δεύτερον παγκόσμιον πόλεμον. Τὰ διασωθέντα λείψανα τοῦ ἱεράρχου νῦν ἀποθησαυρίζονται ἐν τῷ

Ναῷ τοῦ Ἁγίου Νικολάου Μαριουπόλεως ἀποτελοῦντα πηγὴν χαρίτων τοῖς αὐτὰ πανευλαβῶς ἀσπαζομένοις.
Ταῖς αὐτοῦ ἁγίαις πρεσβείαις, Χριστέ, ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

**Ὠδὴ ζ΄. Οὐκ ἐλάτρευσαν.**

Εὐσυμπάθητε
ἀρχιερεῦ, περίδοξος
ὤφθης, Ἰγνάτιε,
ἀγάπης μυσταγωγὸς
καὶ πρόμαχος ἄγρυπνος
τοῦ καταφεύγοντος
τῇ ἀόκνῳ σου
προνοίᾳ εὐσεβόφρονος
δήμου καὶ ἐπιστασίᾳ.

Ὑπὲρ ποίμνης σου
τῆς λογικῆς , Ἰγνάτιε,
σαυτὸν παρέδωκας
περιπετείαις πολλαῖς,
κινδύνοις καὶ θλίψεσι·
διόπερ σέβοντες
τοὺς ἀγῶνάς σου
σὴν μνήμην τὴν πανίερον
γεγηθότες ἀνυμνοῦμεν.

Χαριτόβρυτος
ἡ θήκη τῶν λειψάνων σου
ἐδείχθη, ἔφορε,
Γοτθίας τε καὶ Κεφᾶ,
καὶ κρήνη ἰάσεων
δεινὰ νοσήματα
ἀποπλύνουσα
καὶ νάματα ἐκβλύζουσα
ὑγιείας τε καὶ σθένους.

**Θεοτοκίον.**

Ὁδηγήτρια
ἀπλανεστάτη, Δέσποινα,

πιστῶν πρὸς θέωσιν
καὶ τῆς Κριμαίας λαοῦ
ἐκ ζόφου δουλώσεως
πρὸς φέγγος πάμφωτος,
Μητροπάρθενε,
ἐλευθερίας, δεῖξόν μοι
ἀτραπὸν τῆς σωτηρίας.

**Ὠδὴ η΄. Παῖδας εὐαγεῖς.**

Ὕμνοις σε, Ἰγνάτιε, τιμῶμεν
τὸν ὅσιον, ταπεινὸν καὶ πνευματέμφορον,
εἴκοσι καὶ τέσσαρας
κώμας τὸν ἱδρύσαντα
καὶ ὑπὲρ τοὺς τριάκοντα
Ναοὺς δομήσαντα,
ἐν οἷς δοξολογεῖται ὁ Κτίστης
καὶ Θεὸς τῶν ὅλων,
ἀρχιερεῦ θεόφρον.

Σὲ ἀνευφημοῦμεν, ἱεράρχα,
εὐχῆς διὰ μόνης, πάτερ, ἐκδιώξαντα
ἐκ Μαριουπόλεως
τῆς θαλάσσης, πάντιμε,
ἐχθρῶν τὰ πλοῖα ἅπαντα
καὶ διασώσαντα
τὴν πόλιν ἐκ τῶν Ἄγαρ ἐκγόνων,
θαυμαστῷ τῷ τρόπῳ,
Ἰγνάτιε τρισμάκαρ.

Αἴγλῃ θεϊκῇ κεκοσμημένος,
Ἰγνάτιε, κατελάμπρυνας τὸν βίον σου
ἀρετῶν πυρσεύμασι
καὶ ἀγάπης λάμψεσι
πρὸς τὸν Θεὸν καὶ ἔγγιστα·
διὸ ἠξίωσαι
ἰθῦναι ἀσφαλῶς σὴν ἀγέλην
πρὸς ἐλευθερίας
νομὰς τὰς εὐφροσύνους.

**Θεοτοκίον.**

Ἵνα σε ὑμνῶμεν καθ’ ἑκάστην
ὡς πάντων πρὸς θεῖα δώματα ἰθύντειραν
τῶν πιστῶν, Μητρόθεε,
τὰς ἐννοίας κάθαρον
καὶ λογισμοὺς διόρθωσον
ἡμῶν βοώντων σοι·
Ἁγνείας καὶ χρηστότητος σέλας,
χαῖρε, καὶ εὐῶδες
τῆς παρθενίας κρίνον.

**Ὠδὴ θ΄. Ἅπας γηγενής.**

Νεῦσον ταῖς ἡμῶν
θερμαῖς παρακλήσεσι
παύων σκιρτήματα
τῆς σαρκὸς, θειότατε,
τῶν προστρεχόντων
σοὶ μετὰ πίστεως
καὶ ἐκτελούντων μνήμην σου
τὴν ἀεισέβαστον,
ἱεράρχα
τοῦ Χριστοῦ, Ἰγνάτιε,
ἱδρυτὰ θεῖε Μαριουπόλεως.

Ὅρμον τῆς ζωῆς
τῆς ἄνω κατέλαβες,
σεπτὲ Ἰγνάτιε,
περατώσας βίον σου
καλῶς καὶ σώσας
ἐκ τῆς δουλώσεως
Ἄγαρ υἱῶν τὴν ποίμνην σου·
διὸ  ἠξίωσαι
τοῦ Κυρίου
ὄμμασι θεάσασθαι
σοῖς ἰδίοις τὴν δόξαν τὴν ἄῤῥητον.

Σὲ ὡς πανσθενῆ
προστάτην καὶ πρόμαχον
ἐν βίῳ ἔχοντες

τῆς Μαριουπόλεως
καὶ περιχώρων
αὐτῆς οἱ σύλλογοι
καὶ ἀρωγὸν ἀνύστακτον
οἱ χειμαζόμενοι,
ἱεράρχα
θαυμαστέ, Ἰγνάτιε,
τῶν λειψάνων σορὸν προσκυνοῦμέν σου.

**Θεοτοκίον.**

Χαῖρε, ἀγαθή,
Θεοῦ Μῆτερ ἄχραντε,
πιστῶς κραυγάζοντες
καὶ Υἱὸν δοξάζοντες
μονογενῆ σου
βοῶμεν, Δέσποινα·
Μὴ παύσῃ προστατεύυσα
ἡμᾶς καὶ σκέπουσα
ἐν κινδύνοις
καὶ δεινοῖς ἑκάστοτε
χριστωνύμων ὑμνούντων σε φάλαγγας.

**Ἐξαποστειλάριον. Γυναῖκες ἀκουτίσθητε.**

Κυθνίων νέον καύχημα
καὶ Ἐκκλησίας σέμνωμα,
Μαριουπόλεως κλέος
καὶ ἀρωγὸς καὶ προστάτης
καὶ πάντων μέγα στήριγμα
ἐμπεριστάτων, Ἅγιε,
δέξαι ἡμῶν τὴν αἴνεσιν,
τῶν εὐλαβῶς σὲ τιμώντων,
Ἰγνάτιε ἱεράρχα.

**Θεοτοκίον.**

Τὸν ζόφον μου ἀπέλασον
τῆς ἁμαρτίας, Δέσποινα,
ἡ τοῦ Φωτὸς τοῦ ἀστέκτου
οὖσα δοχεῖον, Παρθένε,

καὶ ἴθυνον τὰς τρίβους μου
πρὸς φῶς Χριστοῦ τὸ ἄῤῥητον,
ἵνα ὑμνῶ σὲ πάντοτε
ὡς φωτοφόρον νεφέλην
καὶ σταθηρὰν κυβερνῆτιν.

**Εἰς τοὺς Αἴνους ἱστῶμεν στίχους δ´ καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια·**

**Ἦχος α´. Τῶν οὐρανίων ταγμάτων.**

Μαριουπόλεως θεῖε
ὄντως διάκοσμε,
καὶ θησαυρὲ Κριμαίας
πολυτίμητε, δέξαι
ἡμῶνμ τῶν σὲ τιμώντων πανευλαβῶς,
τόδε, πάτερ, μελῴδημα
καὶ ἴσθι φύλαξ, ἀκέστωρ καὶ ἀρωγὸς
τῶν προσφύγων σου, Ἰγνάτιε.

Τὸν ἱεράρχην Κυρίου
τὸν γνησιώτατον,
τὸν πατρικῶς ἀγέλης
προϊστάμενον πάσης
αὐτοῦ, ἣν διὰ μέσου δυσχερειῶν
καὶ κινδύνων καὶ θλίψεων
πρὸς ἐλευθέραν ὡδήγησε χθόνα νῦν
ἀνυμνήσωμεν, Ἰγνάτιον.

Τὴν τῶν λειψάνων σου θήκην,
τὴν χαριτόβρυτον,
ψυχῆς ἐν κατανύξει
προσκυνοῦντες, τρισμάκαρ,
βοῶμεν· Ἱεράρχα θεοειδές,
μὴ ἐλλείπῃς ἀείποτε
σὺν τῇ ἁγνῇ Θεοτόκῳ ἐκδυσωπῶν
τὸν Θεὸν ὑπὲρ προσφύγων σου.

Τὴν σὴν ὑπέρλαμπρον μνήμην
πανηγυρίζοντες,
Κεφᾶ τε καὶ Γοτθίας

θεῖε ἱεροφάντορ,
Ἰγνάτιε, βοῶμεν· Τὸν Λυτρωτὴν
ἐκτενῶς καθικέτευε
τοῦ ἐλεῆσαι καὶ δεῖξαι τῶν οὐρανῶν
κληρονόμους τοὺς τιμῶντάς σε.

**Δόξα. Ἦχος πλ. α΄.**

Ἱερομύστα θειότατε, Ἰγνάτιε,
ὁ ἔμπλεως τῆς τοῦ Κυρίου καὶ πλησίον ἀγάπης,
ἁγιοπρεπῶς πεπολίτευσαι·
κοσμήσας γὰρ τὴν τοῦ Χριστοῦ Ἐκκλησίαν
ποιμαντικοῖς σου τρόποις
ἰθύντωρ χειμαζομένων Ὀρθοδόξων ὤφθης πρὸς ἐλευθερίαν·
καὶ νῦν οὐρανοπολίτης γενόμενος
Χριστῷ ἀεὶ πρεσβεύεις καὶ ἡμᾶς κατευθῦναι
πρὸς ἀφθαρσίας λειμῶνα εὐφρόσυνον.

**Καὶ νῦν. Θεοτοκίον.** Μακαρίζομέν σε, Θεοτόκε Παρθένε,...

**Δοξολογία Μεγάλη καὶ Ἀπόλυσις.**

**********************************************

# ΕΝ Τῌ ΛΕΙΤΟΥΡΓΙᾼ

**Τὰ Τυπικά, οἱ Μακαρισμοὶ καὶ ἐκ τοῦ Κανόνος τοῦ Ἱεράρχου ἡ γ΄ καὶ ἡ στ΄ ᾠδή.**

**Ἀπόστολος καὶ Εὐαγγέλιον τοῦ ἁγίου Ἰωάννου τοῦ Χρυσοστόμου. (Ζήτει τῇ ΙΓ΄ Νοεμβρίου)**

**Κοινωνικόν.** Εἰς μνημόσυνον αἰώνιον.

**Μεγαλυνάριον.**

Χαίροις, ὡραιότης Ἱεραρχῶν,
πρὸς ἐλευθερίαν
ὑποδούλων χειραγωγέ,
χαίροις, Ὀρθοδόξων
πατέρων κοσμιότης,

Ἰγνάτιε, κοσμῆτορ
Μαριουπόλεως.

**Δίστιχον.**

**Ὁδήγησόν με πρὸς νομὰς σωτηρίας,**
**Ἰγνάτιε σοφέ, Χαραλάμπης κράζει.**

**Τ Ε Λ Ο Σ**

**Κ Α Ι  Δ Ο Ξ Α**

**Τ Ω  Μ Ο Ν Ω  Α Λ Η Θ Ι Ν Ω**

**Θ Ε Ω  Η Μ Ω Ν**